**Κυριακὴ 1 Σεπτεμβρίου. Ἀρχὴ τῆς Ἰνδίκτου, ἤτοι τοῦ νέου ἔτους· καὶ μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Συμεὼν τοῦ Στυλίτου καὶ ἀρχιμανδρίτου· καὶ ἡ Σύναξις τῆς ὑπεραγίας Θεοτόκου τῶν Μιασσηνῶν· καὶ τοῦ ἁγίου μάρτυρος Ἀειθαλᾶ· καὶ τῶν ἁγίων μαρτύρων Τεσσαράκοντα Γυναικῶν, καὶ Ἀμμοὺν διακόνου καὶ διδασκάλου αὐτῶν· καὶ τῶν ἁγίων μαρτύρων Καλλίστης, Εὐόδου καὶ Ἑρμογένους, τῶν αὐταδέλφων· καὶ μνήμη τοῦ δικαίου Ἰησοῦ τοῦ Ναυῆ· καὶ ἡ ἀνάμνησις τοῦ μεγάλου ἐμπρησμοῦ. Ἦχος α' - Ἑωθινὸν ι'.**

## Τυπικαὶ διατάξεις τῶν Ἱερῶν Ἀκολουθιῶν

### Ἐν τῷ μικρῷ ἑσπερινῷ

Μετὰ τὸν προοιμιακόν, εἰς τό· *Κύριε ἐκέκραξα*...ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ γ' ἀναστάσιμα στιχηρά· *Τὰς ἑσπερινὰς ἡμῶν εὐχάς*... *Κυκλώσατε λαοὶ Σιών*...*Δεῦτε λαοὶ ὑμνήσωμεν*...δευτεροῦντες τὸ α'. Δόξα...Καὶ νῦν...τὸ δογματικὸν θεοτοκίον· *Παρθενικὴ πανήγυρις σήμερον*...Τό· *Φῶς ἱλαρόν*...τὸ Προκείμενον τῆς ἡμέρας μετὰ τῶν στίχων αὐτοῦ. Εἰς τὸν στίχον ψάλλομεν τὸ ἀναστάσιμον στιχηρόν· *Τῷ πάθει σου Χριστὲ*...εἶτα τὰ γ' προσόμοια τῆς Θεοτόκου· *Δεδοξασμένη ὑπάρχεις ἐν γενεαῖς γενεῶν*...*Οἱ συνεχόμενοι θλίψεσιν ἀδοκήτοις Ἁγνή*...*Ἀνεκαινίσθη ὁ κόσμος ἐν τῇ κυήσει σου*...Δόξα...Καὶ νῦν...τὸ ἐγκωμιαστικὸν θεοτοκίον· *Νεφέλην σὲ φωτός*...Τό· *Νῦν Ἀπολύεις*...Τὸ τρισάγιον καὶ τὸ ἀναστάσιμον ἀπολυτίκιον· *Τοῦ λίθου σφραγισθέντος*...Δόξα...Καὶ νῦν...τὸ ὁμόηχον θεοτοκίον· *Τοῦ Γαβριὴλ φθεγξαμένου*...Ἀπόλυσις.

### Ἐν τῷ ἀποδείπνῳ

Ἐν τῷ μικρῷ ἀποδείπνῳ, ψάλλομεν τὸν κανόνα τῆς Θεοτόκου κατ' ἦχον καὶ ἡμέραν· *Δοχεῖον τῆς φύσεως τῆς ἀχωρήτου*...(ἐκ τοῦ Θεοτοκαρίου τοῦ ἁγίου Νικοδήμου τοῦ ἁγιορείτου) καὶ τὸν κανόνα τῶν ἁγίων μαρτύρων Τεσσαράκοντα Γυναικῶν. Ἀφ' ἕκτης ᾠδῆς τὸ κάθισμα τῶν ἁγίων Γυναικῶν· *Ἀμνάδες λογικαί*...Δόξα...Καὶ νῦν...τὸ κάθισμα

τῆς Θεοτόκου· *Παράδεισον ἐν γῇ*...(ἐκ τοῦ Θεοτοκαρίου). Εἰς δὲ τὸ τρισάγιον, τὸ κοντάκιον τῆς Ἰνδίκτου· *Ὁ ἀρρήτῳ σύμπαντα*...Ἐν τέλει, μετὰ τὸ· *Τῇ Ὑπερμάχῳ*... οἱ κδ' οἶκοι τῆς Θεοτόκου.

## Ἐν τῷ μεγάλῳ ἑσπερινῷ

Μετὰ τὸν προοιμιακόν, στιχολογοῦμεν τὸ α' κάθισμα τοῦ Ψαλτηρίου, ἤτοι τὸ· *Μακάριος ἀνήρ*...ὅλον. Εἰς δὲ τὸ· *Κύριε ἐκέκραξα*...ἱστῶμεν στίχους ι' καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα γ'· *Τὰς ἑσπερινὰς ἡμῶν εὐχάς*...*Κυκλώσατε λαοὶ Σιών*...*Δεῦτε λαοὶ ὑμνήσωμεν*...ἀνατολικὸ στιχηρὸ ἐν· *Εὐφράνθητε οὐρανοὶ*...τῆς Ἰνδίκτου προσόμοια γ'· *Τῆς αὐτολεκτοῦ καὶ θείας*...*Ὡς τῶν Ἑβραίων τὰ κῶλα*...*Ὁ ἐν Σιναίῳ τῷ ὄρει*...τοῦ ὁσίου αὐτόμελα γ'· *Ὅσιε Πάτερ, καλὴν ἐφευρες κλίμακα*...*Ὅσιε Πάτερ, εἰ ἦν τὸν στῦλον φθέγξασθαι*...*Ὅσιε Πάτερ, δυνάμει θείου Πνεύματος*... Δόξα...τὸ ἰδιόμελον τῆς Ἰνδίκτου· *Ὁ Πνεύματι Ἁγίῳ συνημμένος*...Καὶ νῦν...τὸ α' θεοτοκίον τοῦ ἤχου· *Τὴν παγκόσμιον δόξαν*...Εἴσοδος. Τὸ· *Φῶς ἱλαρόν*...τὸ προκείμενον τῆς ἡμέρας· *Ὁ Κύριος ἐβασίλευσεν*...μετὰ τῶν στίχων αὐτοῦ. Εἰς τὴν λιτήν, τὸ ἰδιόμελον τοῦ ἁγίου τοῦ ναοῦ ἢ τοῦ ἁγίου τῆς μονῆς. Εἶτα τῆς Ἰνδίκτου ἰδιόμελα δ'· *Ἐπέστη ἡ εἴσοδος τοῦ ἐνιαυτοῦ*...*Χριστὲ ὁ Θεὸς ἡμῶν*...*Θαυμαστὸς εἶ ὁ Θεός*...*Ὁ ἐν σοφίᾳ τὰ πάντα*...καὶ τοῦ ὁσίου ἰδιόμελα δ'· *Ἐκ ῥίζης ἀγαθῆς*...*Τὸ μνημόσυνόν σου*... *Ἡ τῶν λειψάνων σου θήκη*...*Ἠγάπησας Θεοφόρε*...Δόξα...τὸ ἰδιόμελον τοῦ ὁσίου· Θεία *χάρις ἀπηώρητο*...Καὶ νῦν...τὸ ἰδιόμελον τῆς Ἰνδίκτου· *Ὁ ἀρρήτῳ σοφίᾳ*...Εἰς τὸν στίχον, τὸ ἀναστάσιμον στιχηρὸν· *Τῷ πάθει σου Χριστὲ*...εἶτα τὰ γ' στιχηρὰ, τὰ κατ' ἀλφάβητον· *Ἀγαλλιάσθω ἡ κτίσις*...*Βασιλεὺς ὑπάρχων οὐρανοῦ καὶ γῆς*...*Γυναῖκες Μυροφόροι μύρα φέρουσαι*...Δόξα...τὸ ἰδιόμελον τοῦ ὁσίου· *Ὅσιε Πάτερ, καλὴν ἐφευρες κλίμακα*...Καὶ νῦν...τὸ ἰδιόμελον τῆς Ἰνδίκτου· *Σὺ Βασιλεῦ*...Τό· *Νῦν ἀπολύεις*...καὶ τὸ τρισάγιον. Ἀπολυτίκιον, τὸ ἀναστάσιμον· *Τοῦ λίθου σφραγισθέντος*...τῆς Ἰνδίκτου· *Ὁ πάσης δημιουργὸς τῆς κτίσεως*...Δόξα...

τοῦ ὁσίου· *Ὑπομονῆς στῦλος γέγονας*…Καὶ νῦν τὸ· *Θεοτόκε Παρθένε*… Ἡ εὐλόγησις τῶν ἄρτων καὶ ἡ ἀνάγνωσις εἰς τὰς ἐπιστολάς.

**Μὴ τελουμένης ἀγρυπνίας,** ἀπολυτίκια εἰς τὸν μέγαν ἑσπερινὸν (καταλιμπανομένου τοῦ μικροῦ) λέγομεν, τὸ ἀναστάσιμον· *Τοῦ λίθου σφραγισθέντος*…τῆς Ἰνδίκτου· *Ὁ πάσης δημιουργὸς τῆς κτίσεως*… Δόξα… τοῦ ὁσίου· *Ὑπομονῆς στῦλος γέγονας*…Καὶ νῦν…τῆς Θεοτόκου· *Χαῖρε Κεχαριτωμένη*…Τῇ δὲ Κυριακῇ πρωΐ, **ἐν τῷ μεσονυκτικῷ,** ὁ τριαδικὸς κανὼν τοῦ ἤχου· *Μίαν τρισυπόστατον Ἀρχὴν*…Τὰ *Ἄξιόν ἐστιν*…*Τρισάγιον*, καὶ τὸ ἀπολυτίκιον τῆς Ἰνδίκτου· *Ὁ πάσης δημιουργὸς τῆς κτίσεως*…καὶ τὰ λοιπὰ τοῦ μεσονυκτικοῦ.

## Ἐν τῷ ὄρθρῳ

Εἰς τὸ· *Θεὸς Κύριος*…τὸ ἀναστάσιμον ἀπολυτίκιον· *Τοῦ λίθου σφραγισθέντος*…τῆς Ἰνδίκτου· *Ὁ πάσης δημιουργὸς τῆς κτίσεως*…Δόξα…τοῦ ὁσίου· *Ὑπομονῆς στῦλος γέγονας*…Καὶ νῦν…τῆς Θεοτόκου· *Χαῖρε Κεχαριτωμένη*…Εὐθὺς ἡ στιχολογία τοῦ Ψαλτηρίου ὡς ἑξῆς: ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ'*, Δόξα, καὶ νῦν…Καὶ ἀναγινώσκει τὸ Β' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός.* Ἐκ γ'. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι.* Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι σὸν τὸ κράτος*…Ὁ χορός· *Ἀμήν*, καὶ ψάλλονται τὰ ἀναστάσιμα καθίσματα· *Τὸν τάφον σου Σωτὴρ*… Δόξα· *Σταυρῷ προσηλωθεὶς*…Καὶ νῦν…τὸ θεοτοκίον· *Μητέρα σὲ Θεοῦ*… Εἶτα ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ', Δόξα, καὶ νῦν.* Καὶ ἀναγινώσκει τὸ Γ' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός.* Ἐκ γ'. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι.* Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος*…Ὁ χορός· *Ἀμήν*, καὶ ψάλλονται τὰ ἀναστάσιμα καθίσματα· *Γυναῖκες πρὸς τὸ μνῆμα*…Δόξα· *Ἐν τῷ Σταυρῷ προσηλωθεὶς*…Καὶ νῦν...τὸ θεοτοκίον· *Μαρία τὸ σεπτὸν*…Εἶτα ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ', Δόξα, καὶ νῦν.* Καὶ ἀναγινώσκει τὸ ΙΖ' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ

τέλος αὐτοῦ ψάλλονται τὰ *Εὐλογητάρια.* Αἴτησις καὶ ἡ Ὑπακοὴ τοῦ ἤχου· *Ἡ του ληστοῦ μετάνοια…*Ὁ πολυέλεος καὶ τὸ κάθισμα τοῦ ὁσίου· *Ἐγκρατείᾳ τὸν βίον σου…*Δόξα· *τὸ αὐτό…*Καὶ νῦν…τῆς Ἰνδίκτου· *Ὁ καιροὺς καρποφόρους καὶ ὑετούς…*Εὐθὺς οἱ ἀναβαθμοὶ τοῦ ἤχου τὸ προκείμενον αὐτοῦ καὶ ἅπασα ἡ τάξις τοῦ ἑωθινοῦ ι' Εὐαγγελίου. Εἶτα τό· *Ἀνάστασιν Χριστοῦ…*Ὁ ν' ψαλμός. Δόξα· *Ταῖς τῶν Ἀποστόλων…*Καὶ νῦν· *Ταῖς τῆς Θεοτόκου…*Εἰς τὸν στίχον τό· *Ἀναστὰς ὁ Ἰησοῦς…*

**Εἶτα οἱ κανόνες·** ὁ ἀναστάσιμος, μετὰ τῶν εἱρμῶν, εἰς δ' τροπάρια, τῆς Θεοτόκου, ἄνευ εἱρμῶν, εἰς β' τροπάρια, τῆς Ἰνδίκτου, ἄνευ εἱρμῶν, εἰς δ' τροπάρια καὶ τοῦ ὁσίου, ἄνευ εἱρμῶν, εἰς δ' τροπάρια. Λέγομεν δὲ καὶ τοὺς ιβ' στίχους τῆς στιχολογίας ἐν ἑκάστῃ ᾠδῇ, εἰς δὲ τὰ δύο τελευταῖα τό· *Δόξα…*καὶ τό· *Καὶ νῦν…*Καταβασίαι· *Σταυρὸν χαράξας…* Ἀπὸ γ' ᾠδῆς, κοντάκιον τῆς Ἰνδίκτου· *Ὁ ἀρρήτῳ σύμπαντα…*τὸ ἕτερον τοῦ ὁσίου· *Τὰ ἄνῳ ζητῶν…*ὁ οἶκος αὐτοῦ· *Τοῦ Συμεὼν τὸν ἄμεμπτον βίον…* Εἶτα τὸ κάθισμα τοῦ ὁσίου· *Ὑπερζέσας τῇ πίστει Πάτερ σοφὲ…*Δόξα· *τὸ αὐτό…*Καὶ νῦν…τῆς Ἰνδίκτου· *Ὡς Δεσπότῃ τοῦ παντὸς…*Ἀφ' ἕκτης τὸ ἀναστάσιμον κοντάκιον· *Ἐξανέστης ὡς Θεὸς…*καὶ ὁ οἶκος· *Τὸν ἀναστάντα τριήμερον ἀνυμνήσωμεν…*Συναξάριον. **Ἡ τιμιωτέρα στιχολογεῖται.**

**Τό·** ***Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν****…*ἐκ γ' καὶ τό· *Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν…*εἶτα τὸ ἐξαποστειλάριον, τὸ ι' ἀναστάσιμον· *Τιβεριάδος θάλασσα…* τοῦ ὁσίου· *Φωστῆρος δίκην Ὅσιε…*τῆς Ἰνδίκτου· *Θεὲ θεῶν καὶ Κύριε…* Εἰς τοὺς αἴνους, ἱστῶμεν στίχους η' καὶ ψάλλομεν ἀναστάσιμα στιχηρὰ δ'· *Ὑμνοῦμέν σου Χριστέ…Ὁ Σταυρὸν ὑπομείνας…Ὁ τὸν Ἅδην σκυλεύσας… Τὴν θεοπρεπῆ σου συγκατάβασιν…*τῆς Ἰνδίκτου ἰδιόμελα γ'· *Προαιώνιε Λόγε…Ἡ βασιλεία σου Χριστὲ ὁ θεός…Αἱ πορεῖαί σου ὁ Θεὸς…*καὶ τοῦ ὁσίου ἰδιόμελον ἕν· *Ἐκ ῥίζης ἀγαθῆς…*Δόξα…τὸ ι' Ἑωθινὸν ἰδιόμελον· *Μετὰ τὴν εἰς Ἅδου κάθοδον…*Καὶ νῦν· *Ὑπερευλογημένη…*Δοξολογία μεγάλη…καὶ τὸ ἀναστάσιμον τροπάριον μόνον· *Σήμερον σωτηρία…*Ἐκτενής, ἀπόλυσις. Ἡ α' ὥρα ἐν τῷ νάρθηκι.

## Ἐν ταῖς ὥραις

Λέγομεν δέ, ἐν μὲν τῇ α' καὶ τῇ ς' ἀπολυτίκιον ἀναστάσιμον· *Τοῦ λίθου σφραγισθέντος*...Δόξα...τῆς Ἰνδίκτου· *Ὁ πάσης δημιουργὸς τῆς κτίσεως*... Καὶ νῦν...τὸ θεοτοκιον τῆς ὥρας. Ἐν δὲ τῇ γ' καὶ θ' ἀπολυτίκιον ἀναστάσιμον· *Τοῦ λίθου σφραγισθέντος*...Δόξα...τοῦ ὁσίου· *Ὑπομονῆς στῦλος γέγονας*...Καὶ νῦν...τὸ θεοτοκίον τῶν ὡρῶν. Ἐν πάσαις δέ, κὀντάκιον μόνον τῆς Ἰνδίκτου· *Ὁ ἀῤῥήτῳ σύμπαντα...*

## Εἰς τὴν Λειτουργίαν

Τὰ τυπικά. Οἱ μακαρισμοὶ τοῦ ἤχου εἰς δ' τροπάρια καὶ ἐκ μὲν τῆς γ' ᾠδῆς τοῦ κανόνος τῆς Ἰνδίκτου εἰς δ' τροπάρια, ἄνευ εἱρμῶν, ἐκ δὲ τῆς ς' ᾠδῆς τοῦ κανόνος τοῦ ὁσίου εἰς δ' τροπάρια, ἄνευ εἱρμῶν. Εἰσοδικὸν τὸ· *Δεῦτε προσκυνήσωμεν*...*ὁ ἀναστὰς ἐκ νεκρῶν*...Ἀπολυτίκια μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον· *Τοῦ λίθου σφραγισθέντος*...τῆς Ἰνδίκτου· *Ὁ πάσης δημιουργὸς τῆς κτίσεως*...τῆς Θεοτόκου· *Χαῖρε Κεχαριτωμένη*...τοῦ ὁσίου· *Ὑπομονῆς στῦλος γέγονας*...τοῦ ἁγίου τοῦ ναοῦ...ἡ ὑπακοὴ τοῦ ἤχου· *Ἡ του ληστοῦ μετάνοια*...Δόξα...τὸ κοντάκιον τοῦ ὁσίου· *Τὰ ἄνῳ ζητῶν*...Καὶ νῦν...τὸ κοντάκιον τῆς Ἰνδίκτου· *Ὁ ἀῤῥήτῳ σύμπαντα*...Τρισάγιον. Προκείμενον καὶ ἀλληλουϊάριον τῆς Ἰνδίκτου. Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Ἰνδίκτου καὶ τοῦ ὁσίου, ἤτοι: Ἀπόστολος· α'. τῆς Ἰνδίκτου· *Παρακαλῶ πρῶτον πάντων ποιεῖσθαι*...(Τιμ. β' 1-7), ὁ ζήτει τῇ α' Σεπτεμβρίου, καὶ β'. τοῦ ὁσίου· *Ἐνδύσασθε ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ ἅγιοι*... (Κολ. γ' 12-16), ὁ ζήτει τῇ λ' Κυριακὴ τῶν ἐπιστολῶν τοῦ Ἀποστόλου Παύλου. Εὐαγγέλιον· α'. τῆς Ἰνδίκτου· *Ἦλθε ὁ Ἰησοῦς εἰς τὴν Ναζαρὲτ*... (Λουκ. δ' 16-22), ὁ ζήτει τῇ α' Σεπτεμβρίου. β'. τοῦ ὁσίου· *Ἐγώ εἰμι ἡ θύρα δι' ἐμοῦ ἕνα τις εἰσέλθῃ*...(Ἰωὰν. ι' 9-10), ὁ ζήτει τῇ ιγ' τοῦ μηνὸς Νοεμβρίου καὶ Εἰς τὸ· *Ἐξαιρέτως*...τὸ· *Ἄξιόν ἐστιν*...Κοινωνικὸν τῆς Ἰνδίκτου· *Εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοὺ τῆς χρηστότητός σου, Κύριε. Ἀλληλούϊα*...καὶ· *Εἰς μνημόσυνον*...*Εἴδομεν τὸ φῶς*...*Πληρωθήτω*...

*Εἴη τὸ ὄνομα Κυρίου*…ἐκ γ', Δόξα…Καὶ νῦν…οἱ δύο ψαλμοὶ· *Εὐλογήσω τὸν Κύριον*…*Ὑψώσω σὲ ὁ Θεός μου*…καὶ ἡ ἀπόλυσις.